Η ΜΕΤΡΙΟΤΗΣ ἡμῶν μετὰ τῶν συνευχομένων ἱερωτάτων Μητροπολιτῶν ἁγίων ἀρχιερέων, τῶν ἐν Χριστῷ τῷ Θεῷ λίαν ἀγαπητῶν ἡμῖν ἀδελφῶν καὶ συλλειτουργῶν τῇ θείᾳ χάριτι, δωρεᾷ τε καὶ ἐξουσίᾳ τοῦ παναγίου καὶ ζωοποιοῦ καὶ τελεταρχικοῦ Πνεύματος, τῇ δοθείσῃ παρὰ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῖς θείοις καὶ ἱεροῖς αὐτοῦ Μαθηταῖς καὶ Ἀποστόλοις εἰς τὸ δεσμεῖν καὶ λύειν τὰς τῶν ἀνθρώπων ἁμαρτίας, εἰρηκότος αὐτοῖς· «λάβετε πνεῦμα ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας ἀφέωνται αὐτοῖς· ἄν τινων κρατῆτε κεκράτηνται»· καὶ πάλιν «ὅσα ἂν δήσητε καὶ λύσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα καὶ λελυμένα ἐν τοῖς οὐρανοῖς»· ἐξ ἐκείνων δὲ καὶ ἡμῖν τοῖς ἀναξίοις αὐτῶν διαδόχοις ἀπείρῳ συγκαταβάσει καὶ ἀφάτῳ ἐλέει μεταδοθείσης, θαρροῦντες δεόμεθα πρὸς Κύριον ἵνα ἡ συγκεχωρημένη καὶ ἡ δοῦλη τοῦ Θεοῦ ἡ Πολυγύρου τῆς Ἐπαρχίας Κασσανδρείας Ἀναστασία, Νεοφύτου, Πάππου Προσωπικοῦ Γυναίκων ἱερέως Μαρίας Πρεσβυτέρας εἰς ὅσα καὶ αὐτὴ ὡς ἄνθρωπος σάρκα φορέσασα καὶ τὸν πολυαμάρτητον τοῦτον κόσμον οἰκήσασα, ἥμαρτε καὶ εἰς Θεὸν ἐπλημμέλησε λόγῳ ἢ ἔργῳ ἢ διανοίᾳ, ἑκουσίως ἢ ἀκουσίως, φανερῶς ἢ ἀφανῶς, ἐν γνώσει ἢ ἀγνοίᾳ κατὰ πάντα καιρὸν καὶ τόπον καὶ τρόπον καὶ ἐν πάσαις αὐτῆς ταῖς αἰσθήσεσιν, εἴτε μεταμεληθεῖσα ἐξωμολογήσατο ταῦτα πάντα πνευματικοῖς πατράσι, καὶ τὸν παρ' αὐτῶν κανόνα ἀπὸ καρδίας ἐδέξατο καὶ πληρῶσαι προεθυμήθη, οὐκ ἔφθασε μέντοι ἐκτελέσαι ἁρπαγεῖσα ὑπὸ τοῦ χρεών, εἴτε διὰ λήθην ἢ ἄλλην τινὰ ἀνθρωπίνην ἀσθένειαν ἀνεξομολόγητα εἴασε. Ναὶ Δέσποτα πολυέλεε Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, νικησάτω σου τὸ ἄμετρον ἔλεος καὶ ἡ φιλανθρωπία σου ἡ ἀνείκαστος καὶ ἀνυπέρβλητος, καὶ μὴ παρίδῃς τὸ πλάσμα τῶν χειρῶν σου καταποθῆναι τῇ ἀπωλείᾳ, ἀλλ' ἐπακούων ἡμῶν δεομένων σου νῦν ἐν καρδίᾳ συντετριμμένῃ ὑπὲρ τῆς δούλης σου Ἀναστασίας, Γυναίκων Μορφούσης Ἀθανασίου Προσωπικοῦ Ἐφορείας Μοναχῆς Ἀθανασίου Γυναίκων Βασιλείου διάλυσον ὡς ἀγαθὸς καὶ Φιλάνθρωπος Κύριος πάντα ἐπικείμενον αὐτῇ δεσμὸν, ὃν αὐτὴ καθ' ἑαυτὴν ἐκ συναρπαγῆς ἢ ἄλλης τινὸς αἰτίας ἐφειλκύσατο, Δημητρίου Ἀλεξάνδρου καὶ συγχώρησον αὐτῇ φιλευσπλάγχνως πάντα τὰ ἐν τῷ βίῳ πλημμελῶς ὑπ' αὐτῆς πεπραγμένα, φιλανθρώπως παριδὼν ἅπαντα κατὰ τὸ σὸν ἄφατον ἔλεος, κατὰ τὸ πλῆθος τῆς σῆς χρηστότητος, καὶ ἀπάλλαξον αὐτὴν τῆς αἰωνίου κολάσεως τῆς δὲ σῆς βασιλείας ἀξίωσον καὶ τῆς ἐκ δεξιῶν σου παραστάσεως καὶ τῆς μακαρίας ἐκείνης φωνῆς κατήκοον γενέσθαι ποίησον κατὰ μετὰ τῆς μερίδος τῶν σωζομένων κατάταξον, τὸ μὲν σῶμα αὐτῆς εἰς τὰ ἐξ ὧν συνετέθη διαλυθῆναι εὐδοκῶν, τὴν δὲ ψυχὴν αὐτῆς ἐν χώρᾳ ζώντων καὶ ἐν σκηναῖς δικαίων ἀναπαύων, οἴκτῳ καμφθεὶς ἐπ' αὐτῇ καὶ ἐπὶ ταῖς ἡμετέραις θερμαῖς δεήσεσι καὶ παρακλήσεσιν, ἃς προσφέρειν σοι ἀδιστάκτως ἐτάχθημεν ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, φιλάνθρωπε καὶ πολυέλεε Κύριε, πρεσβείαις καὶ ἱκεσίαις τῆς παναχράντου σου Μητρὸς Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, καὶ πάντων σου τῶν ἁγίων τῶν ἀπ' αἰῶνος σοι εὐαρεστησάντων. Ἀμήν.

Ἐν 6ῃ Ἰανουαρίου ἔτει 1902, Ἰανουάριος 17.